Σημ. Γ. Τινὰ τῶν τοπικῶν ἢ ἐθνικῶν ὀνομάτων ἐνάρθρως καὶ ἑνικῶς λεγόμενα, τὸ ὅλον ἔθνος, ἢ σύστημά τι δηλοῦσιν· οἷον· ἀλλαμὴν τόν γε Παίονα καὶ τὸν Ἰλλυριὸν, καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι (Δημοσθ. Ὀλυνθ. Γ. 37.). Ὡσαύτως καὶ ἄλλα ἄττα τῶν οὐσιαστικῶν θηλυκῶν, συνεκδοχικῶς λαμβανομένων εἰς ἑνικὸν ἀριθμὸν, σύστημά τι πολλῶν ὑποδηλούντων προσώπων μετὰ τοῦ πράγματος· οἷον· ἡ ἀσπὶς, ἡ ἵππος· ἀντὶ, οἱ ἀσπισταὶ, οἱ ἱππόται, ἢ ἱππεῖς.

Σημ. Δ. Τίθεται ἔτι τὸ οὐδέτερον ἄρθρον ἑνικῶς ἢ πληθυντικῶς πρὸ τῆς γενικῆς τοῦ θηλυκοῦ οὐσιαστικοῦ κατὰ περίφρασιν· οἷον τὰ τῆς προνοίας, ἀντὶ ἡ πρόνοια. Ἢ ἐλλειπτικῶς, τὰ πράγματα τῆς προνοίας.

Σημ. Ε. Πρὸ τῆς γενικῆς τῶν κυρίων ὀνομάτων πατρὸς, ἢ μητρὸς, ἢ ἀνδρὸς, τίθεται τὸ ἄρθρον ἐλλείψει τοῦ συσχετικοῦ, υἱὸς, θυγάτηρ, γυνὴ, καὶ τὰ τοιαῦτα· οἷον· Τίμων ὁ Ἐγκρατίδου· Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου· ἐκ τῆς τοῦ Οὐρίου (Ματθ. ά. 6.).

Σημ. ΣΤ. Τῶν Ἐπιῤῥημάτων τινὰ συντασσόμενα ἄρθροις, ἀντὶ ἐπιθέτων λαμβάνονται· οἷον· οἱ πάλαι σοφοί.

## Τοῦ Ῥήματος.

Τῶν Ῥημάτων τὰ μὲν εἰσὶ Τέλεια, ὅσα καθ' ἑαυτὰ αὐτάρκη εἰσὶ πρὸς ἐντελῆ λόγον χωρίς τινος πτώσεως ἐκ τρίτου· οἷον· ζῶ, ὑγιαίνω.

Τὰ δὲ Ἀτελῆ, ὅσα ἀπαιτοῦσι πλαγίαν τινὰ πτῶσιν πρὸς ἐντέλειαν· οἷον· διδάσκω σὲ, βοηθῶ σοι, ἀκούω σοῦ.

Πάντα δὲ ἔχουσιν ἐκ πρώτου ὀνομαστικὴν ἤτοι λεγομένην, ἢ νοουμένην, ἐπὶ πάσης ἐγκλίσεως, καὶ ἀριθμοῦ, καὶ προσώπου, καὶ χρόνου· πλὴν τῶν ἀπαρεμφάτων· ταῦτα γὰρ αἰτιατικὴν περιέχουσιν.

### Περὶ Συντάξεως τῶν Ῥημάτων.

Φέρονται δὲ ἐν τῷ λόγῳ τὰ Ῥήματα πενταχῶς.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ά. Ἀπολύτως, ὅτε καθ' ἑαυτὰ κεῖται· οἷον· διδάσκω· δέομαι. δίδωμι· μηδὲν πλέον ἢ αὐτὸ τὸ διδάσκειν, δεῖσθαι, διδόναι, παριστῶντα.

β'. Ἁπλῶς, ὅτε καὶ ἡ ἐκ τρίτου πτῶσις πρόσκειται, ἐφ' ἣν ἡ μετάβασις τοῦ ῥήματος γίνεται· οἷον· διδάσκω σέ. δέομαί σου· δίδωμί σοι.

γ'. Συγκειμένως· ὅτε πρὸς τῷ ἐκ τρίτου καὶ τὸ ἐκ τετάρτου πρόσκειται· οἷον· διδάσκω σὲ γραμματικά· δέομαί σου τὰ δίκαια· δίδωμί σοι χρυσίον.

δ'. Ἐπιβατικῶς· ὅτε ἡ ἐκ τρίτου πτῶσις οὐ πρόσκειται· οἷον· διδάσκω· · · γραμματικά· δέομαι· · · τὰ δίκαια· δίδωμι · · · χρυσίον.

έ. Προθετικῶς· ὅτε πτῶσις παραλαμβάνεται, ἣν ἀπαιτεῖ ἡ συντεθειμένη τῷ ῥήματι πρόθεσις· οἷον· περιέστησάν με κύνες πολλοί· κατεῖπέ μου· συναινῶ σοι.

## Περὶ τῶν Ἁπλῶν Εἰδῶν τῆς Συντάξεως.

Τὰ μὲν οὖν Ἁπλᾶ εἴδη τῆς Συντάξεως τοῦ ῥήματος τρία, κατὰ τὰς τρεῖς πλαγίας. ά. Τὸ κατ' Ἐκπομπὴν, πρὸς αἰτιατικὴν· οἷον· διδάσκω σέ. β'. Τὸ κατ' Εἰσπομπὴν, εἰς γενικὴν· οἷον· ἀκούω σοῦ. γ'. Τὸ κατ' Ἀντιπίπτησιν, εἰς δοτικὴν· οἷον· βοηθῶ σοι.

## Τόποι Τοῦ Ά. Εἴδους.

Τοῦ Πρώτου Εἴδους, εἰτ' οὖν ὅσα Αἰτιατικῇ συντάσσονται Ῥήματα εἰσί·

ά. Τὰ εἰς σωματικὴν διάθεσιν ἀναγόμενα· ὧν δηλονότι ἡ ἐνέργεια σωματική ἐστιν· οἷον· γυμνάζω· κινῶ· νίπτω· πλήττω· φθείρω· λύω· δεσμῶ· νικῶ· εἴργω· ἀναγκάζω· πληρῶ· γεμίζω· πέμπω· κέκτημαι· ἔχω· θερμαίνω· γεννῶ· αὔξω· κρατῶ· κεί-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Λ.Ι.Α της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ρω· θερίζω· καίω. πλέω· τρέχω· κτίζω· ῥάπτω· ὠνοῦμαι· βιάζομαι.

Σημ. Τὸ ἔχω αἰτιατικῇ μὲν συντασσόμενον τὸ κέκτημαι σημαίνει, μετὰ δὲ ἀπαρεμφάτου, τὸ δύναμαι, μετὰ τῶν τροπικῶν δὲ ἐπιῤῥημάτων εὖ, καλῶς, ὡς, ὅπως, πῶς, τὸ διάκειμαι· οἷον· Οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης (Πλάτ. Γοργ. 870)·

β΄. Τὰ εἰς ψυχικὴν διάθεσιν καὶ ἦθος ἀναγόμενα· οἷον· φιλῶ· ἀγαπῶ· δικαιῶ· ἀδικῶ· βλάπτω· ὠφελῶ· ἀνιῶ· ὑβρίζω· οἶδα· ἐξετάζω· ἱκετεύω· διδάσκω· φενακίζω· λανθάνω· ἀποδέχομαι· μιμοῦμαι· ὀνομάζω· καλῶ· παραλογίζομαι· ἀσπάζομαι· τιμῶ· προσκυνῶ· ἐπαινῶ· βιάζομαι· διηγοῦμαι.

Σημ. Τὸ Ἀγαπῶ δοτικῇ συντασσόμενον ἀντὶ τοῦ ἀρκοῦμαι ὑπάρχει· οἷον· ἀγαπᾷν τοῖς ὑπάρχουσιν ἀγαθοῖς (Λυσίας Ἐπιτάφ.). Τὸ δὲ φιλῶ μετὰ ἀπαρεμφάτου ἀντὶ τοῦ εἴωθα· οἷον· ὅπερ φιλεῖ ὅμιλος ποιεῖν (Θουκυδ.).

## Τόποι τοῦ Β΄. Εἴδους.

Τοῦ δὲ Δευτέρου Εἴδους, εἴ τ' οὖν ὅσα γενικῇ συντάσσονται, εἰσὶ ταῦτα.

α΄. Τὰ κατ' Αἴσθησιν ἀναληπτικά· οἷον· αἰσθάνομαι· ἀκούω· γεύομαι· ὀσφραίνομαι· πλὴν τῶν τῆς ὁράσεως· οἷον· βλέπω· ὁρῶ· πρὸς αἰτιατικὴν γὰρ ταῦτα ἀεί· καὶ πλὴν τοῦ τρώγω· πίνω· ἐσθίω.

Σημ. α΄. Τὸ Πίνω, Ἐσθίω, καὶ τὰ τοιαῦτα, ὅταν τὸ ἀπό τινος μέρος σημαίνειν βούληται, γενικῇ συντάσσεται, ἐλλείψει τῆς Ἀπὸ προθέσεως ἢ τοῦ Μέρος· οἷον· ἐσθίω κρεῶν, ἀπὸ, ἢ μέρος τῶν κρεῶν.

Σημ. β΄. Τὸ Ἀκούω καὶ αἰτιατικῇ τοῦ πράγματος ὡς ἐπὶ τὸ πλεῖστον συντάσσεται· οἷον· ἀκούω τοὺς λόγους. Μετὰ ἀπαρεμφάτου δὲ εἰδικοῦ, ἢ μετοχῆς τῷ μανθάνω ἰσοδυναμεῖ· ἀκούω ἡμᾶς Δολοβέλᾳ δεδωκέναι χρήματα. Ἀκούω Λεόντιον καὶ τοὺς περὶ αὐτὸν πολλὰ περὶ ἐμοῦ θρυλλοῦντας.

β΄. Τὰ Ὀρεκτικὰ καὶ Ἐφετικά· οἷον· ὀρέγομαι· ἐφίεμαι· γλίχομαι· ἐρῶ· ἐπιθυμῶ.

γ΄. Τὰ καθ' Ὑπεροχὴν ἀναληπτικὰ καὶ Ἀρχικά· οἷον· ἀντιλαμβάνο-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μαι· ἀντιποιοῦμαι· περιγίνομαι· περίειμι· περιέχομαι· βασιλεύω· δεσπόζω· τυραννῶ· ἄρχω· κρατῶ.

γ. Τὰ Φροντιστικὰ καὶ Κτητικὰ καὶ Στερητικὰ· οἷον· φροντίζω· ἐπιμελοῦμαι· φείδομαι· εὐπορῶ· ἀπολαύω· πληθύω· ἀπορῶ· ἀμοιρῶ· στέρομαι.

Σημ. Τὸ φροντίζω καὶ αἰτιατικῇ πραγματικῇ συντασσόμενον, τῷ κατανοῶ ἢ σκοπῶ ἰσοδυναμεῖ· οἷον· τοῦτο πάνυ φρόντιζετε.

ε. Τὰ Μνήμης καὶ Λήθης σημαντικὰ· οἷον· μέμνημαι· μνημονεύω· ἀμνημονῶ· ἐπιλανθάνομαι.

στ. Τὰ Ὀλιγωρικὰ· οἷον· ὀλιγωρῶ· καταφρονῶ.

ζ. Τὰ Μετοχικὰ καὶ Μεταδοτικὰ· οἷον· μετέχω· κοινωνῶ· μεταδίδωμι.

η. Τὰ Διαφορικὰ καὶ Ἀποστηματικὰ· οἷον· διαφέρω· ἀπέχω· δέω· χρήζω· διέχω· ἁμαρτάνω.

θ. Τὰ ἐκ Συγκριτικῶν παρωνυμούμενα· οἷον· πλεονεκτῶ· ἐλαττοῦμαι.

## Τόποι Τοῦ Γ. Εἴδους.

Τοῦ δὲ Τρίτου Εἴδους, εἴ τ' οὖν ὅσα δοτικῇ συντάσσονται, εἰσὶ ταῦτα.

α. Τὰ Ἀντιπιπτικὰ· ὅσα ἐξ ἴσης διαθέσεως ἀντενεργοῦσιν· οἷον· παλαίω· πολεμῶ· μάχομαι· ἀμφισβητῶ· ἐρίζω.

Σημ. Τὸ Πολεμῶ οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ μετὰ τῆς Πρὸς συντάσσεται· οἷον· πολεμῶ πρὸς σὲ, καὶ μετὰ σοῦ· τὸ δὲ καταπολεμῶ καὶ αἰτιατικῇ ἐσθ' ὅτε. Ὡσαύτως δὲ καὶ τὸ ἁπλοῦν πολεμῶ, ὁμονύμως ἔχον τῷ καταπολεμῶ.

β. Τὰ Ἀντιστατικὰ· οἷον· ἐναντιοῦμαι· ὀργίζομαι· ἀνθίσταμαι.

γ. Τὰ Ὑπουργικὰ καὶ Ἀκολουθητικὰ· οἷον· ὑπηρετῶ· λειτουργῶ· δουλεύω· διακονῶ· λατρεύω· ἕπομαι· ἀκολουθῶ· εἴκω· πείθομαι.

Σημ. Τὸ Ἕπομαι καὶ Ἀκολουθῶ καὶ προθετοπτώτως συντάσσονται· οἷον· ἕπου μετ' ἐμοῦ, καὶ σὺν ἐμοί.

δ'. Τὰ Βοηθητικά· οἷον· βοηθῶ· ἀρήγω.

ε'. Τὰ Κελευστικά· οἷον· κελεύω προστάττω.

στ'. Τὰ Φθονετικά· οἷον· φθονῶ· βασκαίνω.

ζ'. Τὸ Πιστεύω· ἀπιστῶ· δυσπιστῶ· καὶ χρῶμαι.

Σημ. Τὸ Πιστεύω οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ μόνῃ τε καὶ μετὰ προθέσεως συντάσσεται· οἷον· πιστεύω τῷ διδασκάλῳ, πιστεύω ταῦτα, καὶ εἰς ταῦτα. Ἀλλὰ τὰ μερικώτερα τούτων τοῖς ἐντελέσι λεξικοῖς ἐμπεριέχονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ τῶν Συγκειμένων Εἰδῶν τῆς Συντάξεως.

Τῶν δὲ Συγκειμένων, τοῖς εἰρημένοις ἁπλοῖς κοινῶν, εἴδη τῆς συντάξεως ἕξ· κατὰ τὰς διαφόρους τῶν ἐκ τετάρτου χρήσεις· Διαβατικὸν μὲν, εἰς Αἰτιατικὴν, Δοτικὴν, καὶ Γενικήν· οἷον· Ἔζησεν ἔτη πολλά· Τῷ καιρῷ ἐκείνῳ· Ἡμέρας καὶ νυκτὸς ἐργάζεται· Ἀπαρεμφατικὸν δὲ, Τελικὸν μὲν· οἷον· Διδάσκω σὲ διαλέγεσθαι· Εἰδικὸν δέ· οἷον· λέγεται γενέσθαι· Προθετόπτωτον δέ· οἷον· Ἐπαινῶ σε δι' ἀρετήν· Ἐπιρρηματικὸν δέ· οἷον· Διδάσκω σὲ ἡδέως.

### Τόποι τοῦ Διαβατικοῦ.

Πάντα τὰ ἐλλειπῶς ἔχοντα τοῦ πράγματος ῥήματα, αἰτιατικὴν ἀπαιτεῖ εἰδοποιοῦσαν αὐτό· οἷον. Διδάσκω σε γραμματικά· λέγω σοι ταῦτα· δέομαί σου τὰ δίκαια.

### Τόποι τοῦ Περιποιητικοῦ.

Τὰ ῥήματα σχεδὸν πάντα περιποιητικῶς συντάσσονται δοτικῇ κατὰ σχέσιν τινὰ λεγόμενα· οἷον· δίδωμί σοι χρυσίον· ὠφελῶ τοὺς ἀνθρώπους τῇ πόλει· καὶ τὰ μὲν ἔχουσιν οἷον ἔμφυτον τὴν περιποίη-

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σιν· οἷον· τὰ δοτικὰ, τὰ χαριστικὰ, τὰ ἀφηγηματικὰ, καὶ τὰ ἐπισταλτικά· οἷον· δίδωμί σοι χρυσίον· χαρίζομαί σοι τὸ βιβλίον· λέγω σοι τὰ εἰκότα· ἐπιστέλω σοι τὴν γραφήν· τὰ δὲ λοιπὰ πάντα ἐπίκτητον. κατά τινα σχέσιν τὴν περιποίησιν δεχόμενα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τόποι τοῦ Ἐλλειπτικοῦ.

Τῇ μὲν αἰτιατικῇ ἐλλειπτικῶς χρώμεθα τῆς Κατά·

ά. Ἔνθα χρόνου δέοι δηλῶσαι ποσὸν ἤτοι ἀορίστως· οἷον· ἔζησεν ἔτη πολλά· ἢ ὡρισμένως· οἷον· ἔζησεν ἔτη τεσσαράκοντα.

β'. Ἔνθα τὸ μέρος τὸ ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος ἢ πάσχοντος· οἷον· φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος.

γ'. Ἔνθα τὸ κατά τι, ἢ τὸ πολλάκις δηλαδὴ ἢ ὀλιγάκις· οἷον· ἐν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες· ἢ τὸ μέρος· οἷον· σοφὸς τὰ μηχανικά.

δ'. Ἔνθα τὸν τρόπον δέοι δηλῶσαι, οὐ πάνυ τι τῷ ὀργανικῷ ἀνομοίως· οἷον· πάντα ταῦτα τὸν εἰρημένον γέγραφα τρόπον·

Σημ. Αἰτιατικῇ ἐλλειπτικῶς συντάσσεται καὶ ἡ ἐμμέσως τιθεμένη φράσις παροιμιῶδές τι σημαίνουσα· οἷον· ἀλλ' ἦ, τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν (Πλάτ. Γοργ. κατ' ἀρχάς.).

Τῇ δὲ Δοτικῇ χρώμεθα ἐλλειπτικῶς·

ά. Ἔνθα χρόνου δέοι δηλῶσαι ποσὸν· οἷον· Δωριεῖς τε ὀγδοηκοστῷ ἔτει ἔσχον (Θουκυδ. ξυγγραφ. Α. ιά.)· ἐλλείπει δὲ ἡ Ἐν.

β'. Ἔνθα τὸ αἴτιον· οἷον· τῷ ζωροτέρῳ χαίρει (Λουκ. Τίμων.)· ἐλλείπει δὲ ἡ Ἐπὶ. Τοιοῦτο δὲ καὶ τὸ, φθόνῳ οὐκ ἐπαινεῖ Κλέων τὰ καλά.

γ'. Ἔνθα καὶ ἄλλ' ἄττα προσθεῖναι ὁμοῦ γινόμενα· οἷον· Ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ, καὶ Χαρίβδει, καὶ Κύκλωπι (Λουκ. Χάρ. ἢ Ἐπισκοπ.)· ἐλλείπει δὲ ἡ Σύν· ὅθεν· Καὶ ὁ νεανίας εἵπετο σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι (Ξεν. Κύρ. Παιδ. Β'. β'. 2.).

δ'. Ἔνθα τὸ ὁμοῦ· οἷον· Ἐξέπλευσαν οἱ Ἀθηναῖοι ναυσὶ μὲν πεντή-

Ε.Υ.Δ.Τ.Κ. ΙΩΑΝΝΙΝΑ 2006

κοντα, ὁπλίταις δὲ χιλίοις, καὶ τοξόταις ἑξακοσίοις, καὶ Θρᾳξὶ μισθωτοῖς χιλίοις, καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχων πελτασταῖς (Θουκ. ξυγγρ. Δ'. ρκθ'.)· ἐλλείπει δὲ ἡ Σύν.

ε'. Ἔνθα τὸ μέρος, ἢ τὸ κατά τι· οἷον· Οὔτε ποσὶ ταχὺς, οὔτε χερσὶν ἰσχυρὸς (Ξενοφ. Κύρ. Παιδ. Β'. γ'. 3.)· ἐλλείπει δὲ ἡ Ἐν· ὅθεν· Ἐν τοῖς λόγοις δεινὸς Δημοσθένης (Αἰσχίν. περὶ Παραπρεσβ.).

ς'. Ἔνθα τὸ ὄργανον, καὶ τὸν τρόπον· οἷον· Ταύτῃ τῇ χειρὶ ἐδάρη· Δέομαί σου ὅλῃ ψυχῇ· ἐλλείπει δὲ ἡ Ἐν· ὅθεν· Ἐν πέδαις δεδεμένος (Αἰσχίν. περὶ Παραπρεσβ.). Εἴθισται δὲ καλεῖσθαι ἡ δοτικὴ αὕτη Ὀργανική.

Σημ. α'. Η τὸν τρόπον σημαίνουσα δοτικὴ πολλάκις εἰς ἐπίρρημα μεταβάλλεται· οἷον· λίαν σπουδαίως πάντα ἐπράττετο, ἀντὶ πολλῇ σπουδῇ.

Σημ. β'. Τῇ δοτικῇ ἔτι ἐλλειπτικῶς χρώμεθα ἔνθα τὸ εἶδος τῆς ὑπεροχῆς διορίσαι βουλόμεθα· οἷον· πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ (Ξενοφ. Ἑλλην. Ζ. 3. 6.).

Τῇ δὲ Γενικῇ·

α'. Ἔνθα καιροῦ ὡρισμένου χρεία· οἷον· Ἑσπέρας εἶχεν· ἐλλείπει δὲ ἡ Διά· οἷον· Παρέσται αὐτοῖς ὀλίγου χρόνου· καὶ, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου (Ξενοφ. Κύρ. Παιδ. Α'. δ'. 28.). ἢ γοῦν ἡ Ἐκ· οἷον· Καὶ γὰρ ἐκ νυκτὸς πρῶτος ᾐσθάνετο Κῦρος (Ξενοφ. Κύρ. Παιδ. Α'. δ'. 2.).

Σημ. Οὐ μόνον ἐπὶ καιροῦ ὡρισμένου, ἀλλὰ καὶ ἀορίστου τῇ γενικῇ ἐλλειπτικῶς χρώμεθα· οἷον· ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου. Ἐκεῖσε οὐκ ἀφικνεῖται ἐτῶν μυρίων (Πλάτ. Φαίδρ. σελ. 248.).

β'. Ἔνθα ἀνταλλαγματικῶς, ἢ ἀποτιμητικῶς δηλῶσαι δέοι· οἷον· ὠνοῦμαι βοῦν σίτου· ἐλλείπει δὲ ἡ Ἀντί· ὅθεν· Οὐκ ἂν ἠλλάξατο τὴν ἐκείνου βασιλείαν··· ἀντὶ τῆς ἑαυτοῦ πενίας (Δίων Χρυσόστομ. περὶ Βασιλ. Λόγ. δ'.).

γ'. Ἔνθα πληρωτικῶς, ἢ κενωτικῶς τι δηλῶσαι δέοι· οἷον· γεμίζω τὴν φιάλην ὕδατος· κενῶ σε πάντων, ὧν ἔχεις· Ἐλλείπει δὲ ἡ Ἀπό.

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006 Κ.τ.Π

δ. Ἔνθα ἀφοριστικῶς, ἢ ἐκστατικῶς, ἢ διαιρετικῶς τι δηλῶσαι δέοι· οἷον· γυμνῶ σε τῶν ἱματίων· ἀπαλλάττω· ἀφίστημι· ἀπολύω· κωλύω· ἀναστέλλω· συγχωρῶ· ὑπείκω· κουφίζω· ἀμβλύνω· καθαίρω· περιαιρῶ· ψεύδομαι· ἐλλείπει δὲ ἡ Ἀπό.

ε. Ἔνθα τὸ μέρος δηλῶσαι δέοι· οἷον· κρεμῶ σε τοῦ ποδός· πίνω τοῦ ὕδατος· ἐλλείπει δὲ ἡ Ἀπό.

ς. Ἔνθα ἐν ἀποφάσει χρόνου παρήκοντος ἐντελοῦς ποσὸν προσορίσασθαι δέοι· οἷον· οὐκ ἦλθον, οὐκ εἶπον χρόνου πολλοῦ· ἐλλείπει δὲ ἡ Διά.

ζ. Ἔνθα τὸ Ἐγγὺς τοῦ γενέσθαι, καὶ παρὰ μικρὸν συμβεβηκέναι τὶ δηλῶσαι δέοι· οἷον· μικροῦ παρῆλθον, μικροῦ διέφυγεν· ἐλλείπει δὲ ἡ Διά, ἢ ἡ Ἐπί, ἢ γοῦν τὸ Δέον· ἵν' ᾖ τὸ ὅλον· μικροῦ δέον, παρῆλθον· ἢ διέφυγεν.

η. Κἂν τοῖς ἐπιδεικτικοῖς, καὶ φιλικοῖς, καὶ οἰκτικοῖς· καθόλου δὲ, ἔνθα τὸ αἴτιον ἐκφέρειν δεῖ· οἷον· ἐπαινῶ σε τῆς ἀρετῆς· θαυμάζω· ψέγω· κακίζω· φιλῶ· ἀγαπῶ· ἐλεῶ· οἰκτείρω· ἐλλείπει δὲ ὁ Ἕνεκα.

Σημ. α. Χρώμεθα ἔτι τῇ γενικῇ ἐλλειπτικῶς, ἔνθα καὶ τὴν ἔκ τινος ὕλης κατασκευὴν δηλῶσαι βουλόμεθα· οἷον· στέφανος ἀκανθῶν· ἄγαλμα χρυσοῦ· ἐλλείπει δὲ ἡ Ἐξ.

Σημ. β. Καὶ γενικῇ δὲ, μόνῃ κειμένῃ· οἷον· τῆς τύχης! τῆς παχύτητος! ἐννοουμένου τοῦ ἐπιφωνήματος Ὦ ἔξωθεν· ὦ τῆς τύχης! ὦ τῆς παχύτητος!

## Τόποι τοῦ Ἀπαρεμφατικοῦ.

Τοῦ δὲ Ἀπαρεμφατικοῦ τῷ μὲν Εἰδικῷ χρώμεθα, ἔνθα τὸ Ὅτι ἁρμόττει· οἷον· φασὶ τοὺς περὶ τὸν βασιλέα ἐληλυθέναι· ἤτοι· ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα· τῷ δὲ Τελικῷ, ἔνθα τὸ Ἵνα· οἷον· τάττω σε προηγεῖσθαι τῶν ἄλλων· ἤτοι· ἵνα προηγῇ.

## Τοῦ Προθετοπτώτου, καὶ Ἐπιῤῥηματικοῦ.

Τῷ Προθετοπτώτῳ καὶ Ἐπιῤῥηματικῷ χρώμεθα, ἔνθα τὶ προθε-

τικῶς ἐπενεγκεῖν, ἢ ἐπιῤῥηματικῶς κατηγορῆσαι δέοι· οἷον· διδάσκω σὲ γραμματικὰ ἡδέως σὺν ἀγαθαῖς ταῖς ἐλπίσιν.

## Σημείωσις.

Χρώμεθα δὲ τοῖς Συγκειμένοις, εἴ τ' οὖν κοινοῖς τούτοις εἴδεσιν, ἐφ' ἕκαστον τῶν ῥημάτων ἤτοι ἑνὶ, ἢ πλείοσιν, ἢ ἅμα πᾶσι κατὰ τὴν χρείαν, πρὸς τὸ πλῆρες ἢ ἐλλειπὲς τῆς συντάξεως· καθάπερ τοῦ λόγου ἡ ἔννοια ἀπαιτεῖ· δυνατὸν γάρ ἐστι καὶ συλλαβεῖν εἰς ἓν ταῦτα πάντα, καὶ προσθεῖναι ἑκάστῳ ῥήματι· οἷον· Δίδωμί σοι χρυσίον χειρὶ τῇ ἐμαυτοῦ πρίασθαι, ὧν ἂν δέῃ.

## Σημείωσις Γενικωτέρα.

Ἐκ τῶν εἰρημένων περί τε τῶν Ἁπλῶν καὶ Συγκειμένων εἰδῶν τῆς συντάξεως γίνεται φανερὸν, ὅτι τὸ αὐτὸ ῥῆμα πολλάκις διαφόρως λαμβανόμενον, διοίσει τε ἑαυτοῦ τὸ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται, καὶ συντάξεται· οἷον· τὸ Λύω· σωματικὸν μὲν ὂν, ᾗ δεῖται σωματικῆς ἐνεργείας τῷ λύοντι, αἰτιατικῇ συντάσσεται· διαιρετικὸν δὲ, ᾗ τὸ λυόμενον γίνεται ἔξω δεσμῶν, γενικῇ ἐλλειπτικῶς· οἷον· Λύω σὲ τῶν δεσμῶν. Καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως θεωρητέον, καὶ πρὸς τὸ νοούμενον ἀεὶ συντακτέον.

## Περὶ Διαθέσεων.

## Τῆς Ἐνεργητικῆς.

Ἐνεργητικὰ μὲν ῥήματα λέγομεν, ἅπερ καὶ τὸ σχῆμα καὶ τὸ σημαινόμενον ἐνεργητικὸν ἔχει· εἴ τ' οὖν τὰ λήγοντα εἰς ω καὶ σημαίνοντα ἐνέργειαν.

Ταῦτα δὲ μεταβιβάζοντα τὴν ἰδίαν ἐνέργειαν ἐπί τι ὑποκείμενον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

πάσχον· συντάσσεται ὡς μὲν ἐπὶ τὸ πλεῖστον αἰτιατικῇ, ἔστι δὲ ἃ καὶ γενικῇ, καὶ δοτικῇ.

Ἡ δὲ ἐνέργεια αὐτῶν, ἤτοι ἐστὶ μείζων, πρὸς ἔμψυχόν τι φερομένη· οἷον· Διδάσκω σέ· ἢ ἐλάσσων πρὸς πρᾶγμα· οἷον· Θεραπεύω τὸ νόσημα· πλύνω τὰ ἱμάτια.

Διαιρεθείη δ' ἂν τὰ Ἐνεργητικὰ εἰς Εἴδη τρία, κατὰ τὰς τρεῖς πλαγίας πτώσεις· πρῶτον δηλαδὴ τὸ εἰς αἰτιατικήν· οἷον· Διδάσκω τοὺς παῖδας· δεύτερον τὸ εἰς γενικήν· οἷον· Ἀκούω σοῦ· τρίτον τὸ εἰς δοτικήν· οἷον· Βοηθῶ σοι· ὧν οἱ τόποι εἰλήφθωσαν ἀπὸ τῶν κοινῇ εἰρημένων. Προστίθεται δὲ ἐν ἑκάστῳ εἴδει καὶ ἐκ τετάρτου ὅ, τι δήποτοῦν ἡ χρεία ἀπαιτεῖ, ἐκ τῶν Συγκειμένων εἰδῶν, πρὸς τὸ ἐλλιπὲς ἢ πλῆρες τῆς διανοίας· κοινὰ γὰρ ταῦτα παντὶ ῥήματι.

## Τῆς Παθητικῆς.

Παθητικὰ δὲ λέγομεν, ὅσα καὶ ἔννοιαν ἔχει παθητικήν· εἴ τ' οὖν τὰ λήγοντα παθητικῶς εἰς μαι, ἐξ ἐνεργητικοῦ μετασχηματιζόμενα, καὶ σημαίνοντα πάθος.

Ταῦτα δὲ τὰ Παθητικὰ συντάσσονται ἀντεστραμμένως τοῖς ἐνεργητικοῖς· τὸ μὲν γὰρ πάσχον πρόσωπον τίθεται ἐκ πρώτου κατ' ὀνομαστικήν· τὸ δὲ ἐνεργοῦν, ἐκ τρίτου κατὰ γενικὴν ὁμοῦ τῇ Ὑπό, ἢ Πρός, ἢ Παρά, ἢ κατὰ δοτικὴν ἄνευ προθέσεως· τὰ δὲ ἐκ τετάρτου κοινὰ κἀν τούτοις, καὶ οὐδεμίαν μεταβολὴν πάσχει· οἷον· Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. Βιβλίον πωλεῖται στατήρων πολλῶν. Τέμνεταί μοι ὁ λίθος.

Καὶ ἐὰν μὲν τοῦ ἐνεργητικοῦ ἡ σύνταξις κατὰ μείζω ᾖ ἐνέργειαν· τότε τὸ παθητικὸν ἐπὶ παντὸς προσώπου μετασχηματίζεται· οἷον· Διδάσκω σέ, διδάσκῃ ὑπ' ἐμοῦ. Διδάσκεις μέ, διδάσκομαι ὑπὸ σοῦ· Σωκράτης διδάσκει Πλάτωνα. Πλάτων διδάσκεται ὑπὸ Σωκράτους. Ἐὰν δὲ τοῦ ἐνεργητικοῦ ἡ σύνταξις κατ' ἐλάσσω ᾖ ἐνέργειαν· τότε τὸ παθητικὸν ἐπὶ τρίτου μόνον μετασχηματίζεται· οἷον· Τέμνεταί μοι ὁ ἄρτος. Θύεταί μοι ὁ βοῦς. Τέμνεταί μοι ὁ λίθος. Ἔνθα ἡ δοτικὴ ἔχει χώραν.

Καὶ Συνεκδοχικῶς δὲ μάλιστα τὰ παθητικὰ συντάσσονται, τὸ πάσχον ὑποδεικνῦντα μέρος· οἷον· Πλήττομαι τὸν πόδα.

Τὰ δὲ Κλητικὰ καὶ ὅσα προχείρησιν, ἢ προβιβασμὸν σημαίνει, πρὸς ὀνομαστικὴν ἐκ τετάρτου φέρονται παθητικῶς· οἷον· Ἐγὼ καλοῦμαι ὑπὸ σοῦ διδάσκαλος. Χειροτονοῦμαι ὑπὸ τοῦ δήμου πρέσβυς.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ Κ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τῶν Οὐδετέρων.

Οὐδέτερα δὲ λέγομεν, ὅσα σχηματίζονται εἰς ω, καὶ οὐδέποτε εἰς μαι, καὶ μήτε ἐνέργειαν, μήτε πάθος σημαίνουσι· καὶ εἴ ποτέ τι τοιοῦτον σημαίνοι, φύσει, ἀλλ' οὐκ ἐκ τοῦ σχηματισμοῦ.

Τούτων δὲ εἴδη ἕξ. Ὑπαρκτικόν· Ὀλοενεργητικόν· Αὐτοπαθητικόν· Αὐτοουδέτερον· Κτητικόν· Περιποιητικόν.

## Τοῦ Ὑπαρκτικοῦ.

Τὸ μὲν οὖν Ὑπαρκτικόν, κυρίως μὲν ἐκ πρώτου ὀνομαστικῇ συντάσσεται, ὡς αὐτοτελές· οἷον· Ἐγὼ ὑπάρχω. Χειμὼν ἐστίν· ἄλλως δὲ, ἐκ πρώτου καὶ ἐκ τρίτου ὀνομαστικῇ· οἷον· Ἀριστοτέλης ἐστὶ σοφός. Σωκράτης ἐστὶ δίκαιος. Τὸ γε μὴν Τυγχάνει προσλαμβάνει καὶ τὴν Ὢν, μετοχήν· οἷον· Σωκράτης τυγχάνει ὢν ἀγαθός· εἰ μὴ τὸ ἐκ τρίτου μετοχὴ εἴη· οἷον· Σωκράτης τυγχάνει διαλεγόμενος· τότε γὰρ ἡ ὢν, οὐκ ἔχει χώραν.

Τὸ δ' ἐκ τρίτου πτωτικὸν τοῦ ὑπαρκτικοῦ ἐνίοτε καὶ ἑτεραρίθμως ἐπάγεται κατὰ τὴν χρείαν· καὶ τὸ ῥῆμα ἐνίοτε μὲν τῇ ἐκ τρίτου, ἐνίοτε δὲ τῇ ἐκ πρώτου συμφωνεῖ κατὰ ἀριθμόν, πρὸς τὸ ἐπικρατέστερον δηλαδή· οἷον· ὁ δὲ καρπὸς ἦν σύκα καὶ σταφυλαί (Λουκ. Ἀληθ. Ἱστορ. Β'.). Τοῦτο ἦμεν ἡμεῖς (Γρηγορ. Ναζιαν. εἰς Βασίλ.). Ὁ δὲ περιπετόμενος ὄχλος τίνες εἰσί (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.); Καὶ ἑτερογενῶς πρὸς τὸ σημαινόμενον· οἷον· Ὁ κόρος ἐστὶ δεινόν. Ἡ κολακεία ἐστὶ κακόν.

Καὶ πρὸς γενικὴν δὲ κατ' ἔλλειψιν μεταβάλλει τὸ ἐκ τρίτου πτωτικὸν τοῦ ὑπαρκτικοῦ· οἷον· Σωκράτης ἐστὶ τῶν σοφῶν· ἀντὶ Εἷς

ΕΡΓ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν σοφῶν. Ἀνδρός ἐστι φιλέλληνος τοῦ χρόνου τοῖς νέοις φείδεσθαι· ἤτοι τὸ φείδεσθαι ἐστὶν ἴδιον ἀνδρός.

Καὶ δοτικῇ δὲ περιποιητικῶς συντάσσονται τὰ ὑπαρκτικά· οἷον· Ὕπνος ἐστὶ τοῖς δικαίοις ὁ θάνατος (Βασιλ. εἰς Βαρλ. Μάρτυρ.).

## Τοῦ Ὀλοενεργητικοῦ.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Τὸ δ' Ὀλοενεργητικὸν διττῶς συντάσσεται· ἐντελῶς μὲν, πρὸς αἰτιατικήν· οἷον· Ἀναβαίνω τὸ ὄρος· Φεύγω σέ· Λανθάνω σέ· ἀτελῶς δὲ, προσλαμβάνοντα τὴν προσήκουσαν πρόθεσιν· οἷον· Ἀναβαίνω εἰς τὸ ὄρος. φοιτῶ εἰς τὸ διδασκαλεῖον.

Ἔνια δὲ τῶν Ὀλοενεργητικῶν, μετασχηματίζονται κατὰ τὸ τρίτον πρόσωπον εἰς Παθητικὸν, κατὰ τὰ ἐλάσσονος ἐνεργείας ἐνεργητικά· οἷον· Πλέω τὴν θάλασσαν· πλεῖται ὑπ' ἐμοῦ ἡ θάλασσα. Οἰκῶ τὴν γῆν· Οἰκεῖται ὑπ' ἐμοῦ ἡ γῆ.

## Τοῦ Αὐτοπαθητικοῦ.

Τὸ δ' Αὐτοπαθητικὸν κατὰ πάντα τοῖς παθητικοῖς ὁμοίως συντάσσεται· οἷον· Πάσχει ὑπὸ τοῦ ποιοῦντος τὸν πόδα. Καὶ ὡς ἐπιβατικῶς· οἷον· Νοσῶ νόσον.

## Τοῦ Αὐτοουδετέρου.

Τὸ δ' Αὐτοουδέτερον ἀπολύτως λέγεται καθ' ἑαυτὸ, δίχα τινὸς ἐκ τρίτου πτώσεως· οἷον· ζῶ, πλουτῶ, ὑγιαίνω· εἰ μή τι ἐκ τετάρτου· ταῦτα γὰρ κοινὰ παντὶ ῥήματι πάσης διαθέσεως· οἷον· Πλουτῶ ἀρετῇ, ἢ διὰ ἀρετήν· ἢ ὡς ἂν ἄλλως ἐγχωροίη· οἷον· Πάνυ χαίρω τῷ χαίρειν (Λουκιαν. περὶ τοῦ ἐν προσαγ. πταίσματ.). Οὐ μετρίως ἐπὶ τούτοις ἀγανακτῶ (Λουκιαν. Δίκη Φωνηέντ.).

Ε.Υ.Δ τ.Κ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

## Τοῦ Κτητικοῦ.

Τὸ δὲ Κτητικὸν ἐκ τρίτου γενικῇ συντάσσεται· οἷον· χρήζω τῶν βιβλίων· ἐπιτυγχάνω τοῦ σκοποῦ· οὕτω καὶ, ἀπορῶ· ἀμοιρῶ· σπανίζω· ἀπολαύω· καὶ τὰ τοιαῦτα.

## Τοῦ Περιποιητικοῦ.

Τὸ δὲ Περιποιητικὸν τῇ ἐκ τρίτου δοτικῇ συντάσσεται· οἷον· Ἥκω σοί· ὑποχωρῶ σοι· δοκῶ μοι, καὶ δοκοῦμέν μοι (Δημ. Ὀλυν. Ά.). Ὁμοίως καὶ, συμβαίνει· ὑπάρχω· ἐντυγχάνω· περιτυγχάνω· καὶ τὰ τοιαῦτα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τῆς Μέσης.

Μέσα δὲ λέγομεν, τὰ ἐξ ἐνεργητικοῦ μετασχηματιζόμενα εἰς Μέσα· καὶ σημαίνοντα ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἐνέργειαν· ἐνίοτε δὲ καὶ πάθος, τὰ αὐτά.

Ὁπόταν μὲν οὖν ἐνέργειαν σημαίνῃ τὰ Μέσα, φέρονται μὲν πρὸς πτῶσιν, ἣν ἀπαιτεῖ τὸ ἐνεργητικόν· τριχῶς δέ· ἤτοι γὰρ διὰ μέσου ἄλλου ἡ ἐνέργεια γίνεται· οἷον· Ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων, ὅ, τι καὶ διδάξαιτό με (Λουκιαν. Ἐνύπν.). Θεμιστοκλῆς τὸν υἱὸν ἐδιδάξατο σοφὸν εἶναι καὶ ἀγαθὸν (Αἰσχ. Σωκρατ. περὶ Ἀρετ.)· Ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο (Ξενοφ. Κύρ. Παιδ. Ά. δ΄. 18). Καὶ ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα (Αἰσχίν. περὶ Παραπρεσβ.). Οὓς ἐποιησάμην κόσμον τῷ χορῷ (Δημοσθ. κατὰ Μειδ.). Διὰ τοῦ διδασκάλου δηλαδὴ ἢ τοῦ τεχνίτου. Ἢ κατ᾽ ἀντίδρασιν· οἷον· Νῦν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας (Ἰσοκρ. Πανηγυρ. μέ.)· πρὸς ἀλλήλους δηλαδή. Ἢ ἀντὶ ἁπλῶς ἐνεργητικοῦ· οἷον· Φέρονται δὲ οἴκοθεν (οἱ παῖδες) σῖτον μὲν, ἄρτον· ὄψον δὲ, κάρδαμον (Ξενοφ. Κύρ. Παιδ. Ά. β΄. 8).

Ε.Υ.Δ της Ε.Π. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Ὁπόταν δὲ πάθος· ἤτοι ἐπ᾽ αὐτοπαθείας λαμβάνονται, ὅταν τὸ

αὐτὸ πρόσωπον ἐνεργῇ καὶ πάσχει, οὐκ ἄνευ μέν τοι μεσότητος· οἷον· Πρῶτον μὲν θρέψῃ γενικῶς (Λουκιαν. ἐνύπν.)· αὐτὸς ὑπὸ σεαυτοῦ δηλ. διὰ τῆς τέχνης. Ἡλίκα τὰ ἀγαθὰ ποριῇ, λιθοξόος γενόμενος (Λουκιαν. ἐνύπν.)· ὑπὸ σεαυτοῦ δηλ. διὰ τῆς τέχνης. Τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω (Λυσ. κατὰ Ἀγοράτ.)· αὐτὸς δηλ. ὑπὸ τῶν ἰδίων κακῶν. Εἰ μὴ ἕξει ἡ στρατιὰ τὰ ἐπιτήδεια, καταλύσεταί σου εὐθὺς ἡ ἀρχὴ (Ξενοφ. Κύρ. Παιδ. Ά.)· ἀφ ἑαυτῆς δηλ. διὰ τῆς ἐλλείψεως τῶν ἐπιτηδείων. Ἔνθα ἀνάγεται καὶ τὸ, λούομαι, κτενίζομαι, νίπτομαι· ἐγὼ δηλ. ἐπ' ἐμαυτοῦ διὰ τοῦ ὕδατος λούομαι, νίπτομαι, καὶ διὰ τῆς κτενὸς κτενίζομαι. Ἢ κατ' ἑτεροπάθειαν· οἷον· Βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων (Θουκυδ. ξυγγραφ. Ά. β΄.).

Σημ. Τὰ κυρίως Μέσα ῥήματα εἰσὶ τὰ ἑπόμενα· Λούομαι· Κτενίζομαι· Νίπτομαι· Ἐνδύομαι καί τινα ἕτερα· ἡ γὰρ κυρίως μέση διάθεσις ὀλίγοις τισὶ ῥήμασιν ὁρίζεται· μάλιστα δὲ τοῖς σημαίνουσι συνήθη τινὰ πρᾶξιν ἐνεργοῦντος ἐπὶ τὸ ἑαυτοῦ πρόσωπον. Κυρίως τοιγαροῦν Μέσα ῥήματα εἰσὶ τὰ ῥηθέντα· τοῖς δὲ λοιποῖς ὁσάκις ἡ αὐτὴ σχέσις χρειώδης ἐστὶ, διὰ ἀντωνυμιῶν ἐκφράζεται· οἷον· ἀγαπῶ ἐμαυτὸν· γνῶθι σαυτόν. Προσεκτέον μέν τοι μὴ ἁπλῶς λαμβάνειν τὴν Μέσην, ἔνθα ἐνεργητικῆς διαθέσεως χρεία. Διαφέρει γὰρ τὸ θεῖναι νόμους τοῦ θέσθαι νόμους· τὸ μὲν γὰρ πρῶτον ἐπὶ βασιλέως ἢ ἄρχοντος λέγεται, ὃς ἀνεύθυνός ἐστι, καὶ τοῖς νόμοις οὐχ ὑπόκειται· τὸ δὲ δεύτερον ἐπὶ πολιτείας, ἥτις δι ἑαυτὴν τοὺς νόμους τίθησι καὶ οἱ τιθέντες τοῖς τεθεῖσι νόμοις ὑπόκεινται· ἢ ἐπὶ νομοθέτου, ὃς καὶ αὐτὸς συνυπόκειται.

Σημείωσαι δὲ, ὅτι ὁ παθητικὸς παρακείμενος μέσος λαμβάνεται, ἐφ' οἷς οὐκ ἔστι μέσος παρακείμενος· οἷον· Ἐπεποίητο αὐτάρκη τὴν οἰκίαν (Λουκιαν. Ἀληθ. Ἱστορ. Ά.). Κολακείαν πολλὴν πεποίηται (Αἰσχ. κατὰ Κτησιφ.). Ὡς πολλὰς τὰς μεταβολὰς πεποίηται (Ἰσοκρ. Πανηγυρ. λή.). Ὡς ἐμαυτῷ γέγραμμαι πάντα τὰ ὑπομνήματα (Δημοσθ. κατὰ Μειδίου.).

## Τῆς Ἐπιμέσου.

Ἐπίμεσον δὲ λέγομεν τὸ Μέσως ἢ παθητικῶς ἀεὶ σχηματιζόμενον

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ μηδέποτε ἐνεργητικῶς(ὃ καὶ Ἀποθετικὸν καλεῖται, ὡς ἀποτιθέμενον τὴν εἰς ω κατάληξιν.)· καὶ σημαῖνον ἤτοι ἐνέργειαν μόνον· ἢ πάθος μόνον.

Διαιρεῖται δὲ εἰς Αὐτοενεργητικὸν, ὡς ἀφ' ἑαυτοῦ ἐνέργειαν σημαῖνον· καὶ εἰς Ὁλοπαθητικὸν, ὡς ἀμοιροῦν ἐνεργητικῆς εὐχρήστου διαθέσεως, καὶ παθητικῶς σημαῖνόν τι παθητικόν.

Καὶ τὰ μὲν Αὐτοενεργητικὰ συντάσσονται ἀεὶ κατὰ τὰ ἐνεργητικὰ, καὶ οὐδέποτε κατὰ τὰ παθητικά. Καὶ τὰ μὲν αἰτιατικῇ· οἷον· Αἰτιῶμαί σε· κέκτημαι· μιμοῦμαι· ὠνοῦμαι· καὶ τὰ τοιαῦτα. Τὰ δὲ δοτικῇ· οἷον· Μάχομαί σοι· χρῶμαι· ἐναντιοῦμαι· ἀνθίσταμαι· ἁμιλλῶμαι· ὀργίζομαι· καὶ τὰ τοιαῦτα. Τὰ δὲ γενικῇ· οἷον· Ἐφίεμαι· ἐπιλανθάνομαι· γλίχομαι· ὀρέγομαι· καὶ τὰ τοιαῦτα·

Τὰ δὲ Ὁλοπαθητικὰ ὁμοίως τοῖς παθητικοῖς συντάσσονται κατὰ πάντα, καὶ οὐδέποτε κατὰ τὰ ἐνεργητικὰ· οἷον· Φθείρομαι ὑπὸ τῆς νόσου· οὕτω καὶ, Οἴχομαι· ὀδυνῶμαι· πένομαι· καὶ τὰ τοιαῦτα.

Ταῦτα δὴ τὰ Ὁλοπαθητικὰ, καὶ δοτικῇ συντάσσονται ἐνίοτε, ἐλλείψει τῆς Ἐπὶ, ἢ προσκειμένης· οἷον· Οὐ πάντας ἡδομένους τῷ πράγματι εἶδον (Λουκιαν. Ἀποκηρυττόμ.). Ὡς μὴ πάνυ ἄχθοιτο ἐπὶ τῇ συμφορᾷ (Λουκιαν. Ἑρμότ. ἢ περὶ Αἱρέσ.). Καὶ αἰτιατικῇ, τῆς Διὰ ἢ Πρὸς ἐλλειπούσης, ἢ ποσκειμένης· οἷον· ὀδύρομαι τὸν ἀπελθόντα. Ὦ φίλοι δι' ἀμφότερα ἀνιῶμαι (Λουκιαν. Τόξαρ. ἢ περὶ Φιλοτ.).

## Περὶ τῶν Ἀπροσώπων.

Τῶν δ' Ἀπροσώπων ῥημάτων τὸ μὲν ἐστὶ κατὰ φωνὴν Ἐνεργητικὸν, τὸ δὲ κατὰ φωνὴν Παθητικόν.

## Τῶν Ἐνεργητικῶν.

Τοῦ μὲν οὖν Ἐνεργητικοῦ εἴδη τρία.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΚΑΤΣΙΚΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006